ΓΕΝΟΣ ΑΡΑΤΟΥ ΚΑΙ ΒΙΟΣ.

ARATI GENUS ET VITA.

ARATUS Poëta patre natus eſt Athenodoro, matre Letophila, fratres habuit tres, Myrin, Caliondam, & Athenodorum patri cognominem. Meminit fratrum ſuorum in epiſtolis, quæ nomine ipſius inſcriptæ feruntur. Aſclepiades Myrleanus libro XI. de Grammaticis, Tarſenſem ait patriâ fuiſſe, non Solenſem: cùm tamen Callimachus vir in hiſtoria apprimè verſatus, & idoneus auctor, Solenſem fuiſſe dicat his verſibus:

—— *ſed vereor ne quod præcipuum eſt*
Carminum Solenſis expreſſerit.

Quod idem & alii ferè omnes aſſeverant. Urbs eſt autem Soli Ciliciæ cumprimis nobilis: è qua multi viri præſtantes ortum acceperunt. Ea vocatur hodie Pompeiopolis. Habet & Solorum nomine aliud oppidum Cyprus inſula. Verùm qui in Cypro ſunt, Solii: qui in Cilicia, Solenſes appellari ſolent. ut ex eo, quod attulimus, exemplo Callimachi liquet. Neque verò mirum eſt ab eodem vocabulo diverſas civium appellationes eſſe deflexas. Nam & Saïs urbs eſt in Thracia ei, quæ eſt in Ægypto, cognominis. Sed ab Ægyptia, *Saïtæ:* ab Threcenſi, *Saii* cives nominantur. ut teſtatur Archilochus:

Patria Arati.

Clypeo quidem Saiorum aliquis gloriatur: quem ad frutetum
Intus inculpatum reliqui ingratiis.

Rurſus Athenæ aliæ ſunt in Atticai: aliæ in Eubœa; quarum meminit in Glauco maritimo Æſchylus:

Exinde Athenas Daïdas è Perſis.

Verùm ab Athenis Atticis, Athenienſes: ab Eubœenſibus Athenetæ cognominantur. ut in primo Geographiæ libro auctor eſt Eratoſthenes. Sic igitur ab Solis, qui ſunt in Cilicia, Solenſes: ab iis qui ſunt in Cypro, Solii nominantur. Horum mentio fit à Solone in Elegiis, quas ad Cypranorem Regem ſcripſit. qui de Solonis conſilio cùm urbem condidiſſet, eam in hujus gratiam Solos appellavit: ut pro dato conſilio id ei honoris tribueret. Verba Solonis ejuſmodi ſunt:

Nunc verò tu quidem apud Solios diu iſtîc regnans,
Hanc urbem incolas, genúſque tuum.
Me verò cum navi celeri inclyta ab inſula
Incolumem deducat Cypris viola redimita.

Arati ætas.

Vixit Aratus ſub Antigono Macedoniæ Rege, qui Gonatas eſt dictus, Demetrii Poliorcetæ filio, qui uxorem habuit Philam Seleuco, & Stratonica genitam. Qui cùm litterarum ſtudioſus eſſet, præſertímque poëticæ deditus: dedit operam, ut cùm alios complures apud ſe eruditos haberet homines; tum imprimis Aratum. Hic igitur ad Regem cùm veniſſet, atque & in alio genere doctrinæ, & in poëtica maximè ſeſe illi probaſſet, ipſiuſmet hortatu Regis ad ſcribenda phænomena animum adjecit: cùm ab eodem Eudoxi librum accepiſſet, quod *enoptrum* inſcribitur; rogante uti quæ in eo libro proſa oratione ſcripta eſſent, verſibus redderentur: ac ſimul dicente: εὐδοξότερον, id eſt

ΑΡΑΤΟΣ ὁ ποιητής, πατρὸς μὲν ἦν Ἀθηνοδώρου· μητρὸς δὲ Λητοφίλας. ἀδελφοὺς δὲ ἔσχε τρεῖς· Μύριν, καὶ Καλιόνδαν, καὶ Ἀθηνόδωρον, ὁμώνυμον τῷ πατρί. μέμνηται δὲ αὐτοῦ τῶν ἀδελφῶν ἐν ταῖς εἰς αὐτὸν ἀναφερομέναις ἐπιστολαῖς. Ἀσκληπιάδης δὲ ὁ Μυρλεανὸς ἐν τῷ ἑνδεκάτῳ περὶ γραμματικῶν, Ταρσέα φησὶν αὐτὸν γεγονέναι, ἀλλ᾽ οὐ Σολέα· Καλλιμάχου, πολυΐστορος ἀνδρὸς, καὶ ἀξιοπίστου, Σολέα λέγοντος αὐτὸν γεγονέναι διὰ τούτων,

—— ἀλλ᾽ ὀκνέω μὴ * τὸ μὲν κράτος
Τῶν ἐπέων ὁ Σολεὺς ἀπεμάξατο.

* lege μελιχρότατον.

καὶ τῶν ἄλλων σχεδὸν πάντων. οἱ δὲ Σόλοι, πόλις ἐπιφανεστάτη τῆς Κιλικίας, ἀφ᾽ ἧς πολλοὶ κἀγαθοὶ γεγόνασιν ἄνδρες. καλεῖται δὲ νῦν Πομπηϊούπολις. εἰσὶ δὲ καὶ ἕτεροι Σόλοι τῆς Κύπρου. ἀλλ᾽ οἱ μὲν Κύπριοι Σόλιοι καλοῦνται. οἱ δὲ Κιλίκιοι, Σολεῖς. ὡς καὶ διὰ τοῦ προκειμένου Καλλιμαχείου παραδείγματος δῆλον. οὐδὲν δὲ θαυμαστὸν εἰ ἀπὸ τοῦ αὐτοῦ ὀνόματος διάφορα τῶν πολιτῶν τὰ ὀνόματα. καὶ γὰρ Σάϊς πόλις ἐστὶν ἐν Θράκῃ· καὶ ἑτέρα ταύτῃ ὁμώνυμος ἐν Αἰγύπτῳ. ἀλλ᾽ ἀπὸ μὲν τῆς ἐν Αἰγύπτῳ οἱ πολῖται Σαΐται καλοῦνται· οἱ δὲ τῆς Θράκης, Σάϊοι· ὡς καὶ Ἀρχίλοχος φησίν·

Ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται. ἣν παρὰ θάμνῳ
Ἐντὸς ἀμώμητον κάλλιπον, οὐκ ἐθέλων.

καὶ πάλιν Ἀθῆναι μέν εἰσι τῆς Ἀττικῆς· εἰσὶ δὲ καὶ τῆς * Εὐβοίας· Ἀθηναίων Δαΐδας μέμνηται ἐν Γλαύκῳ ποντίῳ Αἰσχύλος.

* Leg. Ἀθηνῶν μέμνηται.

Κἄπειτ᾽ Ἀθήνας Δαΐδας παρ᾽ ἐκ Περσῶν.

ἀλλ᾽ ἀπὸ τῶν ἐν τῇ Ἀττικῇ οἱ πολῖται Ἀθηναῖοι· ἀπὸ δὲ τῶν ἐν Εὐβοίᾳ, Ἀθηνῆται λέγονται. ὥσπερ Ἐρατοσθένης φησὶν ἐν τῷ πρώτῳ γεωγραφουμένων. οὕτως οὖν καὶ ἀπὸ τῶν ἐν Κιλικίᾳ Σόλων οἱ πολῖται Σολεῖς· ἀπὸ δὲ τῶν ἐν Κύπρῳ, Σόλιοι. μέμνηται δὲ τούτων Σόλων ἐν ταῖς ἐλεγείαις ταῖς πρὸς Κυπράνορα τὸν βασιλέα· ὃς συμβουλευθεὶς ὑπὸ Σόλωνος κτίσαι τὴν πόλιν, χάριν τοῦ ἀνδρὸς Σόλους ὠνόμασεν· ἀμοιβὴν ταύτην νέμων τῆς συμβουλῆς αὐτῷ. λέγει δὲ ὁ Σόλων οὕτως·

Νῦν δὲ σὺ μὲν Σολίοισι πολὺν χρόνον ἐνθάδ᾽ ἀνάσσων,
Τήνδε πόλιν ναίοις, καὶ γένος ὑμέτερον.
Αὐτὰρ ἐμὲ ξὺν νηῒ θοῇ κλεινῆς ἀπὸ νήσου
Ἀσκηθῆ πέμποι Κύπρις ἰοστέφανος.

γέγονε δὲ ὁ Ἄρατος κατὰ Ἀντίγονον τὸν τῆς Μακεδονίας βασιλέα, ὃς ἐπεκαλεῖτο Γονατᾶς. ἦν δὲ υἱὸς Δημητρίου τοῦ Πολιορκητοῦ. καὶ γυναῖκα εἶχε Φίλαν τὴν Σελεύκου, καὶ Στρατονίκης θυγατέρα. ἦν δὲ φιλολόγος γενόμενος καὶ περὶ ποιητικὴν ἐσπουδακώς, περὶ πολλοῦ ἐποιήσατο πολλοὺς μὲν καὶ ἄλλους τῶν πεπαιδευμένων ἔχειν παρ᾽ αὐτῷ· καὶ δὴ καὶ τὸν Ἄρατον· ὃς παρὰ τῷ βασιλεῖ γενόμενος, καὶ εὐδοκιμήσας ἔν τε τῇ ἄλλῃ πολυμαθείᾳ, καὶ ποιητικῇ, προετράπη ὑπ᾽ αὐτοῦ τὰ φαινόμενα γράψαι τοῦ βασιλέως, Εὐδόξου ἐπιγραφόμενον βιβλίον κατόπτρου δόντος αὐτῷ, καὶ ἀξιώσαντος τὰ ἐν αὐτῷ καταλογάδην λεχθέντα περὶ τῶν φαινομένων * μέτρῳ εἶναι· καὶ ἅμα εἰπόντος, ὡς εὐδοξότερον ποιεῖς

* f. ἐντεῖ-

ποιεῖς τὸν Εὔδοξον, ἐκτείνας τὰ παρ᾽ αὐτῷ κείμενα μέτρῳ. γέγονε δὲ Ἀντίγονος κατὰ τὴν ρκε᾽ Ὀλυμπιάδα· καθ᾽ ὃν χρόνον ἤκμασεν ὁ Ἄρατος· καὶ Ἀλέξανδρος ὁ Αἰτωλός. μέμνηται δὲ τοῦ κατόπτρου Εὐδόξου, καὶ Ἀντιγόνου * Ἀλεξάνδρου τοῦ Αἰτωλοῦ· καὶ ὡς ἠξιώθη ὑπὸ τοῦ βασιλέως γράψαι· ἐν ταῖς ἰδίαις ἐπιστολαῖς Ἄρατος. λέγεται δὲ ἐσχολακέναι Διονυσίῳ τῷ Ἡρακλεώτῃ. καὶ τὴν Ὀδύσσειαν δὲ διώρθωσε. καὶ καλεῖταί τις διόρθωσις οὕτως Ἀράτειος, ὡς Ἀριστάρχειος, καὶ Ἀριστοφάνειος. τινὲς δὲ αὐτὸν εἰς Συρίαν ἐληλυθέναι φασὶ, καὶ γεγονέναι παρ᾽ Ἀντιόχῳ, καὶ ἠξιῶσθαι ὑπ᾽ αὐτοῦ, ὥστε τὴν Ἰλιάδα διορθώσασθαι, διὰ τὸ ὑπὸ πολλῶν λελυμάνθαι. οἱ δὲ λέγοντες Νίκανδρον τὸν Κολοφώνιον μετὰ Ἀράτου Ἀντιγόνῳ συγκεχρονικέναι, καὶ Ἄρατον μὴ εἶναι ἐπιστήμονα τῶν οὐρανίων· μήτε Νίκανδρον τῶν ἰατρικῶν. λέγουσι γὰρ ὡς ἄρα ὁ Ἀντίγονος Ἀράτῳ μὲν ὄντι ἰατρῷ, ἐπέταξε τὰ φαινόμενα γράψαι· Νικάνδρῳ δὲ ἀστρολόγῳ ὑπάρχοντι, τὰ θηριακὰ, καὶ τὰ ἀλεξιφάρμακα· ὅθεν καὶ ἑκάτερον αὐτῶν ἐσφάλθαι κατολισθαίνοντα ἐπὶ τὰ ἴδια τῆς τέχνης ψεύδονται. ἀγνοοῦσι γὰρ ὡς οὐ συνήκμασε τῷ Ἀράτῳ Νίκανδρος· ἀλλ᾽ ἔστιν αὐτοῦ πολὺ νεώτερος. Ἀντίγονος γὰρ, ᾧ συνεγίνετο Ἄρατος, κατὰ τὸν πρῶτον καὶ δεύτερον γέγονε Πτολεμαῖον. Νίκανδρος δὲ κατὰ τὸν πέμπτον. μέμνηται γοῦν αὐτοῦ καὶ Καλλίμαχος ὡς πρεσβυτέρου, οὐ μόνον ἐν τοῖς ἐπιγράμμασιν, ἀλλὰ καὶ ἐν τοῖς πρὸς Πραξιφάνην, πάνυ ἐπαινῶν αὐτὸν, ὡς πολυμαθῆ, καὶ ἄριστον ποιητήν. γέγονε δὲ ὁ Ἄρατος ζηλωτὴς Ἡσιόδου· ὡς καὶ Καλλίμαχος παρεσημήνατο τοῦτο διὰ τοῦ εἰς αὐτὸν ἐπιγράμματος. οὕτως·

* f. καὶ Ἀλεξ.

Ἡσιόδου * δ᾽ ἄεισμα, καὶ ὁ τρόπος, οὐ τὸν ἀοιδὸν
Ἔσχατον, ἀλλ᾽ ὀκνέω μὴ τὸ μελιχρότατον
Τῶν ἐπέων ὁ Σολεὺς ἀπεμάξατο. χαίρετε λεπταὶ
Ῥήσιες * ἀρήτου σύντονος ἀγρυπνίης.

* f. τὸ δ᾽ [illegible] ἀοιδῶν.

* f. [illegible], & σύγγονοι.

ἔγραψε δὲ καὶ ἄλλα ποιήματα περί τε Ὁμήρου, καὶ Ἰλιάδος· οὐ μόνον τὰ φαινόμενα· καὶ ὀστολογίαν· καὶ ἰατρικὰς δυνάμεις· καὶ εἰς Πᾶνα ὕμνον. καὶ εἰς Μύριν τὸν ἀδελφὸν ἐπικήδειον· καὶ διοσημείας· καὶ Σκυθικόν· καὶ κατὰ λεπτὸν ἄλλα. ἐπιτετευγμένως δὲ αὐτῷ ἐγράφη τὰ φαινόμενα· ὡς παρευδοκιμηθῆναι πάντας ὑπὸ Ἀράτου. καὶ γὰρ Εὔδοξος ὁ Κνίδιος ἔγραψε φαινόμενα· καὶ Λάσος ὁ Μάγνης, οὐχὶ ὁ Ἑρμιονεύς. ἀλλ᾽ ὁμώνυμος ἄλλος Λάσῳ τῷ Ἑρμιονεῖ· καὶ Ἕρμιππος· καὶ Ἡγησιάναξ· καὶ Ἀριστοφάνης ὁ Βυζάντιος· καὶ ἄλλοι πολλοί. ὧν καὶ Πτολεμαῖος μέμνηται ὁ βασιλεὺς * ἰδιοφυέσιν οὕτως.

* An ἰδίως, καὶ φησιν.

Πάνθ᾽ Ἡγησιάναξ τε, καὶ Ἕρμιππος * κατ᾽ αἴθρην
Τείρεα, καὶ πολλοὶ ταῦτα τὰ φαινόμενα
Βίβλοις ἐγκατέθεντο· * ἀπὸ σκοποῦ δ᾽ ἀφάμαρτον.
Ἀλλὰ * τότε λεπτολόγου σκῆπτρον Ἄρατος ἔχει.

* Scr. τὰ κατ᾽.

* Scr. ἀπ- [illegible].

* Scr. τό, & σκῆπτρον.

καὶ ἄλλοι δὲ πολλοὶ γεγόνασιν Ἄρατοι, ἄνδρες ἐλλόγιμοι, ἱστοριογράφοι. ὥσπερ ὁ Κνίδιος, οὗ φέρονται Αἰγυπτιακὰ ἱστορικὰ συγγράμματα. καὶ τρίτος ἐπισημότατος Σικυώνιος, οὗ ἐστιν ἡ πολύβιβλος ἱστορία, ὑπὲρ τὰ λ᾽ βιβλία ἔχουσα. τὰς δὲ Ἀράτου ἐπιστολὰς, ὧν ἀνωτέρω ἐμνήσθημεν, πάντων σχεδὸν συμφωνούντων τὰς εἰς αὐτὸν ἀναφερομένας αὐτοῦ εἶναι, καὶ ὁμολογούντων γνησίας αὐτὰς, μόνος Ἀπολλωνίδης ὁ Κηφεὺς ἐν τῷ ὀγδόῳ περὶ καταψευσμένης ἱστορίας, οὐκ εἶναι αὐτὰς Ἀράτου φησίν. ἀλλὰ Σαβιρίου Πόλλωνος. τοῦ δὲ αὐτοῦ τούτου φησὶν εἶναι ἐπιγεγραμμένας Εὐριπίδου ἐπιστολάς.

Περὶ ἐξηγήσεως.

ΤΗν δὲ τῶν φαινομένων ἐξήγησιν πρῶτον μὲν ἑστώσης τῆς σφαίρας· μετὰ δὲ ταῦτα κινουμένης ἐποιήσατο Ἄρατος. διὸ συμβέβηκε πάσας τὰς σφαίρας ἐν ἁμαρτίᾳ ὑπὸ τῶν ζωγράφων γράφεσθαι. ἑστῶτα γὰρ, καὶ ἀκίνητα γράφοντες αὐτὰ, σφάλματα πολλὰ ἐν τῇ κινήσει ἐν τοῖς συνανατέλλουσι, καὶ ἀντιδύουσιν ἄστροις. * ποιοῦσι δὲ τὴν ἀρχὴν ἑστώσης τῆς σφαίρας περὶ ἄξονος, καὶ πόλων, καὶ τῶν ἐντὸς τοῦ ἀρκτικοῦ κύκλου ἄστρων τὸν λόγον ποιεῖται. λέγω δὲ ἄρκτων, καὶ δράκοντος, καὶ τῶν ἀπὸ τῆς ζώνης μέχρι ποδῶν τοῦ Κηφέως. εἶτα περὶ τῶν μεταξὺ τοῦ ἀρκτικοῦ, καὶ ζωδιακοῦ εἶναι νομιζομένων. λέγει δὲ περὶ τῶν μεταξὺ τοῦ ἀρκτικοῦ, καὶ ζωδιακοῦ, καὶ ἀνταρκτικοῦ οὕτως·

* Hæc nonnihil mendoſa.

Καὶ τὰ μὲν οὖν Βορέω, καὶ ἀλήσιος ἠελίοιο
Μεσσηγὺς κέχυται. τὰ δὲ νειόθεν ἄρχεται ἄλλα.

κινουμένης δὲ τῆς σφαίρας, * τῶν ἀνατολῶν, καὶ συνανατελ-

* Deeſt nomen λόγον.

glorioſiorem, eo facto reddideris Eudoxum, ſi ab eo traditâ carminibus exprimas. Vixit autem Antigonus Olympiade CXXV: quo tempore floruit Aratus; & Alexander Ætolus. Meminit *ſpeculi* illius Eudoxi; & Antigoni, atque Alexandri Ætoli in epiſtolis Aratus: útque Rex ad ſcribendum eum hortatus ſit. Fertur & Dionyſio Heracleotæ operam dediſſe. Idem Odyſſeam correxit. & emendatio quædam illius nomine Aratea dicitur: velut Ariſtarchea, & Ariſtophanea. Aſſerunt aliqui illum in Syriam profectum apud Antiochum degiſſe; ab eóque rogatum eſſe, ut Iliadem corrigeret, quòd depravata eſſet à multis. Nicandrum verò Colophonium cum Arato apud Antigonum vixiſſe qui dicunt: ac tam Aratum rerum cœleſtium, quàm Nicandrum medicinæ imperitos fuiſſe. (Aiunt enim Antigonum Arato, qui profeſſione medicus erat, mandaſſe ut phænomena conſcriberet: Nicandro verò aſtrologo, Theriaca, & Alexipharmaca: ob ídque ambos aberraſſe, ad ea, quæ erant artis ſuæ propria, delapſos.) hæc qui dicunt, falli eos neceſſe eſt. Non enim ſciunt cum Arato non floruiſſe Nicandrum; ſed eo multò juniorem exſtitiſſe. Nam Antigonus, quo cum fuit Aratus, primo ac ſecundo Ptolemæo regnante vixit. Nicander ſub quinto. Itaque Callimachus Arati tamquam anterioris mentionem facit, non ſolùm in Epigrammatibus; ſed etiam in iis quæ ad Praxiphanem ſcripſit. ubi & illum impensè collaudat, tamquam eruditum, & optimum poëtam. Ceterùm Heſiodum æmulatus eſt Aratus. quod Callimachus epigrammate quodam in eum ſcripto teſtatus eſt his verbis.

Nicandro fuit antiquior.

Heſiodi hoc carmen, & modus. non Poëtarum;
Poſtremum * * * *
Carminum Solenſis expreſſit. Salvete ſubtilia
Dicta inexplicabilis germana vigiliæ.

Præter phænomena ſcripſit & alia poëmata, de Homero, & Iliade: de oſſibus; ac medicis facultatibus: hymnum in Pana: epicedium in Myrin fratrem; de oſtentis: Scythicum: & alia quædam minuta. In phænomenis verò ſcribendis potiſſimùm excelluit: adeo ut ceteros longè ſuperaret. Nam Eudoxus quoque Cnidius de phænomenis ſcripſit: & Laſus Magnes, non Hermionenſis; ſed ei qui Hermionenſis erat, cognominis; nec non Hermippus; Hegeſianax; Ariſtophanes Byzantius: aliíque complures: de quibus meminit Ptolemæus, ita ſcribens:

Scripta illius.

Omnia Hegeſianax, & Hermippus ætherea
Aſtra: & plures hæc phænomena
Libris commiſerunt. ſed à ſcopo aberrarunt.
Verùm ſubtilis ſcriptoris principatum Aratus obtinet.

Præter hunc exſtiterunt alii complures Arati, celebres hiſtorici. velut Cnidius: cujus exſtant Ægyptiacarum hiſtoriarum libri. tertius item nominis ejuſdem Sicyonius, longè clariſſimus; à quo multis libris edita eſt hiſtoria. Sunt enim ampliùs triginta. Quod ad epiſtolas Arati ſpectat, quarum ſuprà meminimus; cùm in hoc conſentiant omnes, illius eas eſſe germanas, quæ ipſi tribuuntur; ſolus Apollonius Cepheus in octavo de falſa hiſtoria, negat eas Arati eſſe: ſed Sabirii Pollonis, à quo & illas eſſe ſcriptas epiſtolas aſſerit; quæ Euripidis nomine circumferuntur.

De enarratione apparentium Arati.

APparentium rationem ſic Aratus expoſuit ut immotam primò ſphæram; pòſt eamdem ſeſe convertentem aſpiceret. Hinc apparet ſphæras omnes à pictoribus non ſine errore pingi. Cùm enim eodem loco conſiſtentia, & immobilia deſcribant; plures ex eo neceſſe eſt in orientibus ſimul & occidentibus ſideribus errores incidere. Initio itaque ab ſphæra conſiſtente facto, de axe, polo, & iis ſideribus, quæ arctici circuli ambitu clauduntur, ſermonem inſtituit. cujuſmodi ſunt, Urſæ, Draco, & quæ ab cingulo ad pedes Cephei pertinent. tum de iis, quæ arcticum inter, & zodiacum collocata videntur. Ac de iis quidem, quæ inter arcticum, & zodiacum, atque antarcticum ſita ſunt, ita ſcribit:

Atque alia quidem inter aquilonem, & iter ſolis
In medio fuſa ſunt. alia ab inferiori parte incipiunt.

Verùm converſam poſtea contemplatus eamdem ſphæram,

ram, ortuum, ac ſimul orientium, & occidentium enarrationem iniit ab oriente Cancro, culminante Ariete, & occidente Capricorno. Orſus autem ab exortu Cancri, cum eóque ſimul orientia, & occidentia ex adverſo ſidera perſecutus; deinceps eumdem ordinem non tenuit, ſed variis modis uſus eſt: ut è regione interdum occidentia primùm; pòſt ſimul orientia deſcriberet: in aliis vice verſa, à coorientibus inciperet, iiſque contrarium occaſum facientia ſubjiceret.

Arati opus à pleriſque depravatum.

Sed poëticum hoc opus plerique depravarunt, pictores, aſtronomi, grammatici, geometræ; cùm ad ſuam quiſque mentem, ac voluntatem privatas picturas, & interpretationes exigeret.

Proferuntur à nonnullis phænomena ſine ullo proœmio in hunc modum:

Hæ quidem nihilominus multæ, & alibi aliæ poſitæ.

Quidam diverſa proœmia referunt, velut

De Sole, & inſigni Luna.
Dicite mihi muſæ.

In aliis exemplaribus:

Anclide hoſpitum ſacrum germen; age tu mihi
Cœleſtem attingas ad ſemitam.

Alia,

Antigone hoſpitum ſacrum germen.

Verùm omni prorſus carere proœmio opus iſtud, indecorum eſt; ac cùm hujus poëtæ præſtanti facultate, tum verò tanti argumenti majeſtate minùs dignum. ſic enim initii, ac velut capitis expers eſſet hoc poëma. Ab iis autem exordiis inchoari; *Anclide*, & id genus ceteris, non eò ſolùm videtur abſurdum, quòd propter cacozeliam ab Arati ſtylo iſti verſus abhorreant. ſed ineſt id in eo quoque pugnans; quòd annis ſeptuaginta ad idem punctum revocari Solis curricula credantur. Tale eſt enim commentitium illud exordium;

Septies cum decenniis converſis annis.

Cùm tamen Aratus novemdecim annorum ſpatio reſtitui Solem in idem principium noverit, ita ſcribens;

— — — *jam enim celebrati ſunt*
Novemdecim circuli ſplendidi Solis.
Tum quotcumque ab cingulo ad extremum Orionem
Nox evolvit; & ad canem audacem Orionis.

Unde ſi proœmium illud admiſerimus; in eo ſeptuaginta annorum orbem Poëta conſtituerit: in ſequentibus, annorum novemdecim: ac ſecum ipſe pugnabit. quod eſt abſurdum. Satius eſt igitur initium illud adſciſcere, quod in exemplaribus pleriſque cernitur: nimirum;

Ab Jove auſpicemur: quem numquam viri ſinimus.

Eſt enim conſentaneum inde illum auſpicari, qui de cœleſtibus rebus explicare inſtituit. Quinetiam poëtis maximè convenit hoc exordium. Nam in conviviis tres miſcebant crateras: primum Jovis Olympii: ſecundum Caſtorum, & Heroum: tertium Jovis ſoſpitatoris. Unde Theocritus,

Ab Jove, inquit, *incipiamus, & in Jovem deſinite Muſæ.*

Orpheus verò tempus omne Jovi tribuit his verbis;

Jupiter initium: Jupiter medium. ab Jove omnia facta ſunt.

Quamobrem, ut & vetus conſuetudo ferebat, & propoſito argumento congruebat, ab Jove cœpit exordium.

Sunt qui reprehendant Poëtam, quòd præpoſitionem *ex*, potiùs, quàm, *ab*, uſurpaverit. Dicendum enim fuerat, inquiunt, *ab Jove*, non, *ex Jove*. Sed neſciunt nimirum eodem more loquendi uſum eſſe Pindarum ita ſcribentem: *Unde & Homeridæ conſutorum carminum poëtæ ſæpiùs incipiunt, Jovis ex proœmio.* Item Alcman; *Ego verò ſemper tibi me ex Jove incipiens.* Ac videtur præterea illa vox, *ab*, neſcio quid malè ominatum habere: quaſi dicas; *procul ab.*

Pindarus Nem. 11.

Ceterùm Jovem alii cœlum interpretantur: alii æthera: alii Solem: alii ad fabuloſum illum Jovem referunt. Qui cœlum eſſe defendunt, pro ſe Poëtam citant ita loquentem:

λόντων, καὶ ἀντιδυνόντων πεποίηται ἀπὸ καρκίνου ἀνατέλλοντος, καὶ μεσουρανοῦντος κριοῦ, καὶ αἰγόκερω δυόντος. ἀρξάμενος μέν τοι ἀπὸ καρκίνου ἀνατέλλοντος, καὶ * προσθείς τι τὰ συνανατέλλοντα αὐτῷ ἄστρα, καὶ τὰ ἀντιδύνοντα, ἐν τοῖς ἑξῆς οὐκ ἐτήρησε ταύτην τὴν τάξιν· ἀλλὰ διαφόρως, ποτὲ μὲν, τὰ ἀντιδύνοντα πρῶτα λέγει· ὕστερον δὲ τὰ συνανατέλλοντα· ἐπὶ δέ τινων, ἀνάπαλιν· πρῶτα μὲν, τὰ συνανατέλλοντα· ὕστερον δὲ, τὰ ἀντιδύνοντα.

* Deſt aliqui

Ἐλύμηναν δὲ πολλοὶ τοῦτο τὸ ποίημα ζωγράφοι, καὶ ἀστρονόμοι, καὶ γραμματικοὶ, καὶ γεωμέτραι· ἕκαστος αὐτῶν πρὸς τὸ βούλημα τὸ ἴδιον γραφὰς, καὶ ἐξηγήσεις ἰδίας ποιούμενοι.

Φέρεται δὴ τὰ φαινόμενα ὑπὸ μέν τινων ἀπροοίμιαστα.

Οἱ μὲν ὁμῶς πλέες τε, καὶ ἄλλυδις ἄλλοι ἐόντες.

ὑπὸ δέ τινων διάφορα προοίμια, ἀρχὴν ἔχοντα.

Ἀμφί μοι ἠελίοιο, περικλειτοῖο τε μήνης
Ἔσπετέ μοι μοῦσαι. — —

τινὰ δὲ τῶν ἀντιγράφων.

Ἀγκλείδη ξείνων ἱερὸν θάλος, εἰ δ' ἄγε σύ μοι
Οὐρανίην ψαύσειας ἐπὶ τρίβον. — —

ἔνια δὲ,

Ἀντίγονε ξείνων ἱερὸν θάλος. — —

τὸ μὲν οὖν ἀπροοιμίαστον φέρεσθαι τὸ ποίημα, παντελῶς ἐστιν ἀπρεπὲς, καὶ ἀνάξιον τῆς τοῦ ποιητοῦ ἀρετῆς, καὶ τῆς τηλικαύτης ὑποθέσεως. ἄναρχον γὰρ, καὶ ἀκέφαλον ἔσται τὸ ποίημα. τὸ δὲ ἀπὸ τοῦ, Ἀγκλείδη, καὶ τῶν ἑξῆς ἄρχεσθαι, πρὸς τῷ διὰ κακοζηλίαν ἐκφυγεῖν ταῦτα τὰ ἔπη τὸν Ἀράτειον χαρακτῆρα· ἔτι καὶ ἐναντίωμα ἔχει τὸ οἴεσθαι ἑβδομηκονταετηρίδα εἶναι ἐν ᾗ ἀποκαθίσταται ὁ ἥλιος ἀπὸ σημείου ἐπὶ σημεῖον. ἔχει γὰρ τὸ κατεψευσμένον προοίμιον οὕτως·

Ἕπλαχα σὺν δεκάδεσι περιπλομένων ἐνιαυτῶν.

τοῦ Ἀράτου ἐννεακαιδεκαετηρίδα εἰδότος ἀποκατάστασιν τοῦ ἡλίου διὰ τούτων·

— — — τὰ γὰρ * συναγείρεται ἤδη
Ἐννεακαίδεκα κύκλα φαεινοῦ ἠελίοιο·
Ὅσσα τ' ἀπὸ ζώνης εἰς ἔσχατον Ὠρίωνα
Νὺξ ἐπιδινεῖται, κύνα τε θρασὺν Ὠρίωνος.

* [illegible]

ὥς τε εἰ προσδεχθείημεν τὸ προοίμιον, ἐν αὐτῷ μὲν ἑβδομηκονταετηρίδα ἔσται λέγων ὁ ποιητής· ἐν δὲ τοῖς ἑξῆς ἐννεακαιδεκαετηρίδα· καὶ αὐτὸς ἑαυτῷ ἐναντιούμενος· ὅπερ ἄτοπον. ἄμεινον οὖν τὸ διὰ τῶν πλείστων ἀντιγράφων φερόμενον προσίεσθαι, οὗ ἡ ἀρχή.

Ἐκ Διὸς ἀρχώμεσθα· τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν.

ἁρμόττον γὰρ ἂν εἴη ἀπ' αὐτοῦ τὴν ἀρχὴν ποιήσασθαι τὸν περὶ τῶν οὐρανίων ἐξηγούμενον. πρέπει δὲ καὶ ποιηταῖς μάλιστα αὕτη ἡ ἀρχή· ἐπεὶ καὶ ἐν τοῖς συμποσίοις τρεῖς κρατῆρας ἐκίρνων. καὶ τὸν μὲν πρῶτον, Διὸς Ὀλυμπίου. τὸν δὲ δεύτερον, Διοσκούρων, καὶ ἡρώων. τὸν δὲ τρίτον, Διὸς σωτῆρος. διὸ καὶ ὁ Θεόκριτος·

Ἐκ Διός ἀρχώμεσθα (φησὶ) καὶ ἐς Δία λήγετε μοῦσαι.

ὁ δὲ Ὀρφεὺς πάντα καιρὸν ἀνατίθησι Διΐ. λέγων·

Ζεὺς ἀρχή. Ζεὺς μέσσα. Διὸς δ' ἐκ πάντα τέτυκται.

ὅθεν ἀκολούθως καὶ τῷ ἔθει τῷ παλαιῷ, καὶ τῇ ὑποκειμένῃ ὑποθέσει, ἀπὸ Διὸς πεποίηται τὴν ἀρχήν.

Ἐπικαλοῦσι δὲ αὐτῷ τὴν, ἐκ, πρόθεσιν ἀντὶ τῆς, ἀπὸ, παρειληφότι. ἔδει γὰρ, φασὶν, εἰπεῖν ἀπὸ Διός. ἀγνοοῦσι δὲ ὅτι καὶ Πίνδαρος κατεχρήσατο τῷ ἔθει τούτῳ, λέγων· ὅθεν περ καὶ Ὁμηρίδαι ῥαπτῶν ἐπέων τὰ πολλὰ ἀοιδοὶ ἄρχονται, Διὸς ἐκ προοιμίου. καὶ Ἀλκμάν· ἐγὼ δὲ ἀεί σοι με ἐκ Διὸς ἀρχόμενα. ἄλλως δὲ καὶ τὸ, ἀπὸ, δύσφημόν ἐστιν· ὡς εἴ τις λέγει ἄποθεν.

Δία δὲ οἱ μὲν, τὸν οὐρανόν· οἱ δὲ τὸν ἥλιον· οἱ δὲ τὸν μυθικὸν ἐξεδέξαντο. οἱ μὲν οὖν τὸν οὐρανὸν λέγοντες, παρατίθενται τὸν ποιητὴν λέγοντα·

Ὡς

Ὡς δ' ὅτε ταρφειαὶ νιφάδες Διὸς ἐκποτέονται.

τουτέστιν ἐξ οὐρανοῦ. καὶ Ἄρατον αὐτὸν ἐν τοῖς ἑξῆς λέγοντα περὶ τοῦ ἵππου· ἐν διὸς εἱλεῖται· ὅ ἐστιν ἐν τῷ οὐρανῷ. οἱ δὲ Δία τὸν αἰθέρα παραλαβόντες, παρατίθενται Εὐριπίδην λέγοντα.

Ὁρᾷς τόνδ' ὑψοῦ, τόνδ' ἄπειρον αἰθέρα,
Καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις.
Τοῦτον νόμιζε Ζῆνα· τόνδ' ἡγοῦ θεόν.

καὶ ἴσως Ζῆνα τίς αὐτὸν καλοίη, διὰ τὸ πυρώδη εἶναι τὸν αἰθέρα· ἀπὸ μὲν τοῦ αἴθεσθαι, αἰθέρα· ἀπὸ δὲ τοῦ * ζῆν, καὶ παρὰ τὴν * ζήτησιν, ζῆνα· οἱ δὲ Δία τὸν ἥλιον νοήσαντες, λέγουσιν, ὅτι καὶ Σοφοκλῆς Δία τὸν ἥλιον καλεῖ λέγων·

* f. ζεῖν, & mox ζέσιν.

— — * ἠελίοιο κτείρειε ἐμέ.
Οἱ σοφοὶ λέγουσι γεννητὴν θεῶν,
Πατέρα πάντων.

* f. ἅλιος αἰθέριος μ' οἰκτείρει &c. mox. καὶ πατέρα.

καὶ ἔννοιαν τῆς δόξης ταύτης φασὶν ἔχειν τὸν ποιητὴν, ὅταν λέγῃ·

Ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα, καὶ Διὸς αὐγάς.

καὶ τὸ,

Ἠέλιός θ', ὃς πάντ' ἐφορᾷς, καὶ πάντ' ἐπακούεις.

παρό ἐστι πάντα εἰδὼς ὁ τοῦ Διὸς ὀφθαλμὸς, καὶ πάντα νοῶν. οἱ δὲ Δία τὸν ἀέρα ἀκούσαντες, φέρουσι μάρτυρα Φιλήμονα τὸν Κωμικόν. φησὶ γάρ· ὃν οὐδὲ εἷς λέληθεν οὔτε * κακὸν, οὔτε ἐσθλόν. οὗτος εἰμὶ ἐγὼ ἀήρ· ὃν ἄν τις ὀνομάσειε καὶ Δία. διὸ καὶ τὸν Ἄρατον ἐπάγειν·

— — μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί·
Πᾶσαι δ' ἀνθρώπων ἀγοραί· — —

* Deeſt participium φάμεν, aut ſimile aliud. Videntur autem ſe- [illegible]

πάντῃ γὰρ Διὸς κεχρήμεθα. σπῶντες γὰρ τὸν ἀέρα ἀναπνέομεν. ἀλλὰ μὴν καὶ ἐν τῷ βίῳ φαμὲν τὸν Δία ὕειν. καὶ διοσημείας καλοῦμεν. καὶ νεφεληγερέτην παρὰ τοῖς ποιηταῖς εὑρίσκομεν. ταῦτα δὲ καὶ τὰ τοιαῦτα πάντα ἐν τῷ ἀέρι. οἱ δὲ Δία τὸν μυθικὸν, τὸν Κρόνου παῖδα νοοῦσιν. ἡμῖν δὲ δοκεῖ τριχῶς ὑπὸ τοῦ Ἀράτου τὸν Δία προφέρεσθαι· μυθικῶς μὲν, ὡς ὅταν λέγῃ·

— — εἰ ἐτεὸν δὴ
Κρήτηθεν κεῖναί γε Διὸς μεγάλου ἰότητι.

ἔστι γὰρ καὶ φυσικῶς, καὶ μυθικῶς ἐξηγήσασθαι τὸ προοίμιον. τὸ δὲ

Ὡς δ' ὅτε ταρφειαὶ νιφάδες Διὸς ἐκποτέονται.

ἐξ οὐρανοῦ νοῆσαι, ὅλον ἐστὶ πλάσμα. Ὅμηρος γὰρ οἶδε τὸν Δία ὄμβρων παραίτιον. καὶ πάλιν τὸ, ἐν Διὸς εἱλεῖται, ὡσαύτως παραλαβεῖν, ἀνόητον. οὐ γὰρ εἶπεν ἐν Διΐ. ἀλλ' ἐν τῷ τοῦ Διὸς κλίματι· ἢ οἰκητηρίῳ, οὐρανῷ κατὰ παράλειψιν· ὡς ἐν παιδοτρίβου, ἢ κιθαριστοῦ.

Οἰκειότατα δὲ ἀπὸ Διὸς ἤρξατο, ὡς ποιητοῦ, καὶ τῶν ὅλων δεσπότου. ὥς τε τὰ λοιπὰ προοίμια παραιτητέον. καὶ γὰρ Ἡσίοδος οὗ μάλιστα ζηλωτὴν τὸν Ἄρατόν φαμεν γεγονέναι· ἀπὸ Διὸς ἤρξατο.

Ἠτιάσαντο δέ τινες ὅτι ἔγκειται τὸ σ τῷ ἀρχώμεσθα. ὅμοιον δέ ἐστι τῷ παρὰ τῷ ποιητῇ χαζώμεσθα. καὶ,

Σοὶ πάντες μαχόμεσθα

δὲ εἶπεν, ὡς κοινὰ πᾶσι γράφων. οὐχ ὡς Ἀπολλώνιος ἐξ ἰδίου μόνου προσώπου·

Ἀρχόμενος σέο Φοῖβε.

τὸν οὐδέποτε, ἄρθρον προτακτικὸν ἀντὶ ὑποτακτικοῦ, ὅν, διὰ τὸν συγκρουσμόν. ἀνδρὸς δὲ ἰδικὸν ἀντὶ γενικοῦ τοῦ ἀνθρώπου. καὶ ὅμοιον τῷ·

Ἄλλοι μὲν ῥα θεοί, τε καὶ ἀνέρες ἱπποκορυσταί.

μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί. ὅτι καὶ οἱ ποιηταὶ πανόπτην

Ac veluti cùm crebræ nives ab Jove volitant.

id eſt, *è cœlo*. Nec non ipſummet Aratum: qui in ſequentibus de Equo ſic ſcribit; *in Jove volvitur.* ſed qui de æthere Jovem accipiunt, teſtem Euripidem adducunt. cujus hæc verba ſunt:

Vides hunc in ſublimi immenſum æthera;
Qui terram circum continet humidis in ulnis.
Hunc tu puta Jovem: hunc arbitrare Deum.

Ac neſcio an non ζῆνα proprereà quis illum dixerit, quòd igneus ſit æther. Quippe ab eo quod eſt αἴθεσθαι, id eſt *ardere*; nominatus eſt *æther*: ab eo verò, quod eſt ζεῖν, ac propter fervorem, ζῆνα dixerunt. Jam qui Jovem malunt eſſe Solem, aiunt Sophoclem eodem vocabulo Solem appellaſſe, cùm ſcripſit:

—— *Sol miſereſcat mei;*
Quem ſapientes aiunt genitorem Deum,
Patrémque omnium.

Cujus opinionis in mentem veniſſe Poëtæ volunt; cùm ita loquitur;

Sonus amborum pervenit in æthera, Joviſque ſplendorem.

Item,

Sólque, qui cuncta vides, audíſque cuncta.

Propterea quòd omnia conſpicit Jovis oculus, & omnia cognoſcit. Qui Jovem aërem interpretantur, teſtimonio Comici Philemonis utuntur. cujus hæc verba ſunt: *Quem nemo latet, neque bonum, neque malum* * * *hic ſum aër quem meritò quis appellaverit & Jovem.* Hinc Aratum addidiſſe volunt:

— *Pleni autem Jovis ſunt omnes vici,*
Omniáque hominum fora.

Nam in omnibus Jove opus habemus. Quippe haurientes aërem reſpiramus. Quin communi inter homines uſu loquendi dicimus, *pluere Jovem.* Item διοσημείας, quaſi *Jovis oſtenta*, nominamus, & *nubicogum* apud poëtas invenimus. Quæ omnia, & horum ſimilia in aëre contingunt. Alii Jovem illum è fabulis Saturno genitum intelligunt. Nos trifariam ab Arato proferri Jovem arbitramur. primùm fabuloſè: ut cùm ait,

— *ſi revera certè*
E Creta illæ utique Jovis magni conſilio.

Licèt enim & ex rerum natura, & ex fabularum commentis enarrare proœmium. Jam illud:

Ut autem cùm crebræ nives ex Jove volitant.

ſic accipere, quaſi idem ſit atque *è cœlo*; penitus eſt confictum. Siquidem Homerus imbrium auctorem facit Jovem. Sic illud quoque: *In Jovis volvitur*: eodem interpretari ſenſu, ſtolidum eſt. Non enim ſcripſit: *In Jove.* Sed in Jovis tractu: vel domicilio: nimirum in cœlo, per ſubauditionem. quemadmodum dicimus: *apud pædotribæ*, vel *fidicinis.*

Aptiſſimè porrò ab Jove orſus eſt, velut opifice, ac rerum omnium domino. Quocirca cetera proœmia repudianda ſunt. Etenim Heſiodus, quem unum ex omnibus æmulatum maximè eſſe dicimus Aratum; ab Jove cœpit.

Fuere qui poëtam caſtigarent, quòd litteram σ inſeruerit vocabulo ἀρχώμεσθα. Sed huic ſimile eſt apud Poëtam χαζώμεσθα. Tum verò,

Tecum omnes certamus,

dixit, tamquam communia omnibus dicens. non, ut Apollonio viſum eſt, ex propria tantummodò perſona;

Orſus à te Phœbe,

τὸν *quem numquam.* Articulus præpoſitivus pro ſubjunctivo ὅν, ad vitandam colliſionem. Ἀνδρὸς vocabulo, id eſt *viri*, quod particulare eſt, pro generali, *hominis*, uti voluit. cui ſimile iſtud eſt:

Alii quidem Dii, & viri ex equis pugnantes.

Plenæ autem Jove ſunt omnes quidem viæ. Poëtæ omni

tuentem

tuentem ubique Jovem nominant. ut: *O Jupiter omnituens.* Item, *Sol qui omnia luſtras.* ἀγυιαὶ, ſunt *vici*, per quæ γυῖα *membra* movemus. at *fora* ſunt *conciones*. Nam & *bulæus*, id eſt *conſiliarius*, appellatur Jupiter; ſicut *hoſpitalis*; *ſocialis*; *amicus*: *ſerius*, *frugifer.*

Plenum eſt mare; & portus. Dicitur enim *portumnus* & *lucrio* negotiatoribus. *Hic verò mitis hominibus.* quoniam *pater eſt virûmque, Deûmque.* Ob id & *mitis* dicitur.

> — — — *pater verò ceu mitis erat.*

Admonet autem quandonam gleba optima eſt. Aliàs ἀροστὴ, id eſt *arabilis*. Sed non congruit. Nam ſubjicit; *bobus*, & *ligonibus*. At ligonibus arat nemo. *Circumvallare* eſt *circumfodere.* Quippe rotundum omne γυρὸν appellatur. ut, *rotundus in humeris.* Sequitur: *Ipſe enim hæc ſigna in cælo firmavit,* nempe ſtellas, & imagines. Itaque ab eo quod eſt ἐστηρίχθαι, ἀστέρας, id eſt ſtellas vocavit. Alii ab Aſtræo dictas volunt. Atque hoc firmandi verbo, ad fixarum immobilitatem alluſit. *facta.* præterito uſus eſt pro futuro. ut apud Poëtam;

> *Si quidem poſſum perficere; & ſi perfectum eſt.*

Hoc eſt, *ſi poteſt perfici.* Pergit ut *ſtata omnia naſcantur.* hoc eſt, *ut tutò conſerant.* paſſivum pro activo. aut ut videatur, *tamquam funes diſſoluti ſunt. Viris tempeſtatum*, pro ὡρῶν. *Salve pater magnum miraculum; magna hominibus utilitas.* Non dicit, *& magna. Salve tu ipſe, & prior generatio.* O Jupiter, tu, & progenies tua: nempe Titanes. Velut apud Antimachum:

> *Terrigenáſque Deos, antiquioréſque origine Titanas.*

ſic Homerus,

> *Oceanúmque Deûm originem, & matrem Tethyn.*

Quòd ſi ad homines vox illa, *prior*, referenda ſit; de quarta ab aureo genere ſemideorum progenie loquetur. Nam nos in quinta progenie cenſemur. Ac propterea Titanas ſalvere jubet, quoniam in ſequentibus Aſtræum unum de Titanibus prædicat his verbis.

> *Sive igitur Aſtræi illius proles: quem aiunt*
> *Aſtrorum antiquum patrem eſſe.*

Hoc ipſum verò tam cum præcedentibus, quàm cum ſequentibus copulari poteſt. quemadmodum iſtud: *Salvete Muſæ*, per ſeipſum: deinde, *admodum omnes*, conjunctim:

> — — — *mihi quidem ad ſtellas dicendas*
> *Si fas eſt, precanti promite omnem cantum.*

Vox illa, *fas* ambigua eſt. Nam aut antecedentibus, aut ſequentibus annectenda eſt. Videlicet ut ita conſtruatur; *ad ſtellas dicendas, ut decet promite.* vel *precanti ut decentia date mihi dicere ô Muſæ. Eſt autem* τεκμήρατε, *ad finem uſque dicite.* τέκμωρ enim *finem* ſignificat.

καλοῦσι πανταχοῦ. ὦ Ζεῦ πανόπτα. καὶ ἥλιος, ὃς πάντ' ἐφορᾷς. ἀγυιαὶ δὲ τὰ ἄμφοδα, δι' ὧν τὰ γυῖα φερόμεθα. ἀγοραὶ δὲ αἱ ἐκκλησίαι, καὶ αἱ σύνοδοι. λέγεται γὰρ καὶ βουλαῖος Ζεύς, ὡς ξένιος· καὶ ἑταιρεῖος· φίλιος· φυτάλιμος. ἐπικάρπιος.

Μεσταὶ δὲ θάλασσαι, καὶ λιμένες. * ἐπιπέλαγος, καὶ λιμένιος, καὶ κερδῷος τοῖς ἐμπόροις. ὁ δ' ἤπιος ἀνθρώποισιν, ἐπεὶ πατὴρ, ἀνδρῶν τε θεῶν τε. διὰ τοῦτο καὶ ἤπιος. * f. ia

> ——— ——— Πατὴρ δ' ὡς ἤπιος ἦεν.

Λέγει δ' ὅτι βῶλος ἀρίστη. γράφεται καὶ ἀροστὴ ἢ ἀροσίμη. * ἐπιλέγει γὰρ βουσί τε, καὶ μακέλῃσι. μακέλαις δὲ οὐκ ἀροῦταί τις. γυρῶσαι, κύκλῳ περισκάψαι. πᾶν γὰρ τὸ κυκλοτερὲς γυρόν. γυρὸς ἐν ὤμοισιν. αὐτὸς γὰρ τάδε σήματ' ἐν οὐρανῷ ἐστήριξε· τοὺς ἀστέρας, καὶ τὰ εἴδωλα. παρὰ δὲ τὸ ἐστηρίχθαι ἐτυμολόγησε τῶν ἀστέρων τὸ ὄνομα. ἄλλοι δὲ φασὶν ἀπὸ Ἀστραίου. διὰ δὲ τὸ ἐστήριξε, τὸ ἀκίνητον τῶν ἀπλανῶν ἐδήλωσε. τετυγμένα· παρῳχημένου χρόνου ἀντὶ μέλλοντος. ὡς παρὰ τῷ ποιητῇ· * Deſt aliquid

> Εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστίν.

ἀντὶ τοῦ τελεσθησόμενον· ὄφρ' ἔμπεδα πάντα φύωνται. ἀσφαλῶς φυτεύσωσι· παθητικῷ ἀντὶ ἐνεργητικοῦ. ἢ ἵνα φαίνηται ὡς ἀπάρτια λέλυνται. Ἀνδράσιν ὡράων. ἀντὶ τοῦ ὡρῶν. χαῖρε πάτερ μέγα θαῦμα, μέγ' ἀνθρώποισιν ὄνειαρ. οὐ λέγει καὶ μέγα. χαῖρε αὐτὸς, καὶ προτέρη γενεή. ὦ Ζεῦ σὺ καὶ ἡ σὴ γενεά. ἤ τοι οἱ Τιτᾶνες. ἴσως καὶ παρὰ Ἀντιμάχῳ.

> Γηγενέας τε θεοὺς, προτερηγενέας τε Τιτῆνας.

Καὶ Ὅμηρος·

> Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθύν.

εἰ δὲ ὡς πρὸς ἀνθρώπους προτέραν νοήσομεν, λέγοι ἂν τὴν τετάρτην ἀπὸ τοῦ χρυσοῦ γένους τὴν τῶν ἡμιθέων. ἡμεῖς γὰρ τῆς πέμπτης γενεᾶς. Τιτῆνας δὲ διὰ τοῦτο λέγει χαίρειν· ἐπειδὴ καὶ ἐν τοῖς ἑξῆς Ἀστραῖον ἕνα τῶν Τιτάνων ὄντα ὑμνεῖ, λέγων·

> Εἴ τ' οὖν Ἀστραίου κείνου γένος. ὅν ῥά τέ φασιν
> Ἄστρων ἀρχαῖον πατέρ' ἔμμεναι. ———

δύναται δὲ τὸ αὐτὸ καὶ τοῖς προειρημένοις, καὶ τοῖς ἐπιφερομένοις συνάπτεσθαι. ὥσπερ καί, χαίρετε δὲ Μοῦσαι καθ' ἑαυτό. εἶτα, μάλα πᾶσαι ὑφ' ἕν.

> ——— ——— ἐμοί γε ἀστέρας εἰπεῖν
> Εἰ θέμις, εὐχομένῳ τεκμήρατε πᾶσαν ἀοιδήν.

τὸ θέμις ἀμφίβολον. ἤ τοι γὰρ τῷ προτέρῳ συνάπτειν ἢ τῷ ἑξῆς· ἤ τοι ἀστέρας εἰπεῖν, ὡς προσῆκον, τεκμήρατε. ἢ εὐχομένῳ ὡς προσήκοντα παράσχετε εἰπεῖν ὦ Μοῦσαι. τεκμήρατε, μέχρι τέλους εἴπατε. τέκμωρ γὰρ τὸ τέλος.

Θ Ε Ο Δ Ω Ρ Ο Υ
ΠΕΡΙ ΜΗΝΩΝ.
THEODORI GAZÆ
LIBER DE MENSIBUS.

JOANNE PERRELLO INTERPRETE.

a. Πρὸ ἔργου μὲν καὶ τὸ τὰς ὀνομασίας εἰδέναι τῶν μηνῶν, καὶ τάξει χρῆσθαι ὡς Ἀθηναῖοι ἦγον· οὐ ῥᾴδιον δὲ τοῦτο λαβεῖν. τῶν τε γὰρ πρότερον, καὶ τῶν κατ' ἡμᾶς δὴ ἐλλογίμων, οἱ μὲν οὐδὲν περὶ τάξεως καὶ χρείας ἔφασαν τούτων· οἱ δὲ τάξιν μέν τινα ἀποδεδώκασι, τὸ ἐφεξῆς οἰόμενοι λέγειν· πόρρω δ' ἀποπλανώμενοι τοῦ ὀρθοῦ ἐλέγχονται φανερῶς. ἔνιοι δ' ἑρμηνεύοντες, ὅς τις μὲν Ἑκατομβαιὼν τῶν μηνῶν· ὅς τις δὲ Ποσειδεὼν, καὶ τῶν λοιπῶν ἕκαστος ὡς ἐφαρμόττοι πρὸς τὰ ὀνόματα τῶν μηνῶν, καθάπερ ἄγουσι Ῥωμαῖοι τοὺς χρόνους, οὐδὲν ὅ τι καὶ ὑγιὲς εἰπεῖν ἀποδιδόασιν· οὐδὲ δὴ συνῳδά γε ἀλλήλοις φασίν. ἀλλ' ὁ μὲν Μάρτιον λέγει τὸν Ἑκατομβαιῶνα· ὁ δὲ Ἰούλιον. ὁμοίως δὲ κἀπὶ τῶν ἄλλων διαφωνοῦσιν ἀλλήλοις, ἅμα καὶ διαμαρτάνοντες ἕκαστοι τἀληθοῦς. καὶ Πλήθων δ' ἐφ' ἡμῶν ἀνὴρ τῶν ἐπιφανῶν, χαλεπὸν ἡγούμενος εὑρεῖν τὸ ἀνάλογον τούτοις, εἴα ἐπιζητεῖν. κἀν τοῖς περὶ νομοθεσίας δὴ λόγοις περὶ ἡμερῶν, καὶ μηνῶν, καὶ ἐνιαυτοῦ ὑφηγούμενος, οὐκ ὀνομάζει ὡς Ἀττικοὶ ἦγον τοὺς μῆνας· καί τοι τἄλλα τὰ περὶ τὴν φωνὴν ἕπεσθαι προτεθυμημένος Ἀττικοῖς, καὶ σφόδρα περὶ τοῦτο σπουδάζων. ἀλλ' ὅπερ ἂν ὁ τυχὼν εἴποι, ἁπλῶς οὕτως ἐκ τοῦ συμβεβηκότος καλεῖ, τὸν μὲν πρῶτον, τὸν δὲ δεύτερον, καὶ τοὺς ἄλλους ὁμοίως, ὡς ἕκαστος ἔχει τάξεως πρὸς τὸν πρῶτον. καθάπερ εἴ τις τοὺς τῆς χειρὸς δακτύλους ὀνομάσαι ἐθέλων, οὐ τὸν μὲν καλεῖ μέγαν, ἢ ἀντίχειρα, τὸν δὲ λιχανὸν, τὸν δὲ μέσον, καὶ τοὺς λοιποὺς ὡσαύτως· ἀλλ' ὑπ' ἀπορίας τῶν ἑκάστοις κειμένων γε ὀνομάτων, πρῶτον, καὶ δεύτερον, καὶ τρίτον προσαγορεύει. ἔοικε δὲ μηδὲ τοῖς πολὺ πρόσθε ῥᾴδιον εἶναι, ὅτι δὴ καὶ Πολυδεύκης τὰ ὀνομαστικὰ Καίσαρι Κομμόδῳ συγγεγραφὼς, τὰς μὲν ἡμέρας τοῦ μηνὸς ὅπως ἀριθμητέον τε, καὶ ὀνομαστέον λέγει, (εἰ καὶ μὴ καλῶς) τοὺς μῆνας δ' αὐτοὺς παρασιγῶν ἀπολείπει. χρῆν δὲ καταριθμῆσαι καὶ τούτους ὀνομάζοντα, καὶ διασαφοῦντα, εἴπερ ᾔδει· ἄλλως τε καὶ Κόμμοδον τὸν ἑτερόγλωττον τινὰ ἀττικίζειν διδάσκοντα τὴν φωνήν. ἔστι μὲν οὖν οὐ ῥᾴδιον, ἀποδοῦναι τοῖς Ῥωμαίων ὀνόμασι τὰ τῶν Ἀθηναίων περὶ τοὺς μῆνας, καὶ τὴν προσήκουσαν τάξιν εὑρεῖν. οὐ μὴν ἀλλὰ ζητητέον, καὶ τὰ τῶν ἐπὶ πραγματείαις διαφόροις μνημονευσάντων μηνός του, τὰ λεγόμενα ἐπισκεπτέον. καὶ ἐκ πλειόνων συλλογιστέον διορίζοντας, ἐφ' ὅσον διακριβοῦσθαι καὶ περὶ τῶν τοιούτων ἂν εἴη. ὅπως ἂν Ἑλληνικοῖς ὀνόμασι τῶν μηνῶν ἔχωμεν χρῆσθαι, Ἑλληνικῶς φράζοντες, ἀλλὰ μὴ ὀθνεῖα παραμιγνύντες, ξενίζωμεν περὶ τὴν πατρῴαν φωνὴν, καὶ ἐκμελῆ τὸν λόγον ποιῶμεν. φιλοσόφου δὲ καὶ τὸ περὶ τούτου ἐσκέφθαι. τῆς αὐτῆς γὰρ ἐπιστήμης ἐστὶν, ὀρθῶς τε τοῖς κειμένοις χρῆσθαι ὀνόμασι, καὶ μηδὲν ἀλλόεθνὲς ἐπιπλάζειν τοῖς οἰκείοις ἐᾶν. ὥσπερ ἀμέλει καὶ τὰ μὲν μὴ ὑπάρχοντα νομοθετεῖν, τὰ δὲ μοχθηρῶς ὠνομασμένα τοῖς πολλοῖς διορθοῦσθαι. οὕτω γὰρ ἂν ἑκάστη τῶν ἐπιστημῶν βέλτιόν τι αὐτῆς ἔργον ἀποτελοῦσα, συμβάλλοιτο εἰς τὴν πολιτικὴν κοινωνίαν. μάλιστα δὲ, αἱ περὶ τοὺς λόγους.

OPERÆ quidem precium eſt, & menſium appellationes pernoſſe, & in iis utendis Atticum ordinem ſequi: quamquam id aſſequi non eſt facile. 1.
Siquidem virorum priſca noſtráque ætate litterarum doctrinâ inſignium, partim de ordine eorum, & uſu nullam mentionem fecerunt; partim neſcio quid ordinis tradiderunt. Verùm dum ſe putant perpetuam ſeriem colligere, procul à recta aberrare palàm arguuntur. Nonnulli verò interpretantes quiſnam ſit menſis Hecatombæon, quíſve Poſideon, & quo pacto reliquorum cuique cum menſium nominibus conveniat, ut à Romanis tempora numerantur; nihil enarrant ſani, neque certè conſona inter ſe commemorant: ſed hic Martium Hecatombæonem vocat; ille Julium, itidémque in aliis inter ſe diſcordant; omnéſque ſimul à veritate ipſa diſcedunt. Et verò Plethon hoc ſæculo vir clarus, operoſum Plethon. reputans invenire, qua ratione hi mutuò reſpondeant, inquirere deſtitit: in commentariiſque de legum inſtitutione, quum de diebus, menſibus, & anno præcipiat; qua tamen ratione Athenienſes menſes ſuos agerent, ne verbum quidem facit. Tametſi in ceteris rebus, quæ ad vocem ſpectant, eos æmulari magnis votis expetit, in eóque ſedulò, & quaſi affectatè operam navat: ſed quod faciat quivis è vulgo, ſimpliciter hîc ex accidente nominat, primum hunc, illum ſecundum; paritérque alios, ut cujuſque ad primum ordo ſeſe habet: non ſecus ac ſi quis manus digitos nominaturus, hunc pollicem non vocet, illum indicem, alium medium, & reliquos ſimiliter: at præ conſtitutorum ſingulis nominum penuria, primum, ſecundum, & tertium dicat. Neque verò iis, qui multò antè floruerunt, minùs difficile fuiſſe vident. quandoquidem Pollux ſcripto de rerum vocabulis libro ad Commodum Cæſarem, menſis quidem dies ut numerandi ſunt, nominandíque dicit; & ſi id non ſatis rectè: ipſos verò menſes Atticos prætermittit. Atqui par erat eum præſertim, qui Commodum alienæ linguæ virum Atticè loqui doceret, enumeratos nuncupare, & (ſi modò ſciret) ad plenum explicare. Commodus Cæſar. Non facile igitur Atticos menſes Romanis reddere nominibus, convenientémque ordinem his accommodare. Huic nihilominus inquiſitioni opera danda eſt, & eorum, qui diverſis in rebus menſis cujuſpiam meminerunt, dicta inſpectanda; tum ex pluribus diſtincta explicatione ratiocinandum, quatenus fieri poterit de talibus exacta inveſtigatio: ut Græcè dicentes Græcis menſium nominibus utamur; & ne externa permiſcentes, atque inculcantes, in noſtrate lingua quaſi hoſpites peregrinum quiddam ſonemus, & ineptum inconcinnúmque ſermonem faciamus. Porrò philoſophi eſt etiam hujuſmodi commentatio: quum quidem peritiæ ſit ritè impoſitis nominibus uti, & nihil peregrinum pati in propriis vernaculíſque ſuperfluere: quemadmodum certè, nomina ſi deſunt, & nova formare, & perperam à rudibus indita corrigere. Philoſophi de ratione recti ſermonis officium. Sic enim unaquæque diſciplina meliùs; magíſque ſuo munere fungens univerſæ reipublicæ conducat; imprimis autem eæ artes quæ conſiſtunt in recti ſermonis ratione.